εἰ δὲ θεὸς κακῶι ἀνδρὶ βίον καὶ πλοῦτον ὀπάσσηι
  ἀφραίνων βίοτον οὐ δύναται κατέχειν.

6. Πολλοῖσ' ἀνθρώπων γλώσσηι θύρα οὐκ ἐπίκειται
  ἁρμοδίη, καί σφιν πόλλ' ἀλάλητα πέλει.
πολλάκι γὰρ τὸ κακὸν κατακείμενον ἔνδοθεν ἦλθεν·
  ἐσθλὸν δ' ἐξελθεῖν λώιον ἢ τὸ κακόν.

7. Ἐν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες
  γινώσκουσ', ἀνδρὸς δ' οἶνος ἔδειξε νόον,
καὶ μάλα περ πινυτοῦ· κακότητα δὲ πᾶσαν ἐλέγχει,
  ὥστε καταισχύνειν καὶ τὸν ἐόντα σοφόν.

8. Οἶνος πινόμενος πολὺς κακός· ἢν δέ τις αὐτὸν
  πίνηι ἐπισταμένως, οὐ κακός, ἀλλ' ἀγαθός.

9. Οὐδένα θησαυρὸν καταθήσεαι ἔνδον ἀμείνω
  αἰδοῦς, ἣν ἀγαθοῖσ' ἀνδράσι, Κύρνε, διδῶις.

10. Χρῆμα γυναικὸς ἀνὴρ ἐσθλῆς λαίζεται οὐδὲν
  κάλλιον, ⟨οὐδέ ποτ' αὖ ῥίγιον ἄλλο κακῆς.⟩



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40454875X/91 UNIVERSITÄT LEIPZIG